Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0001-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0002-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0003-4

CXIX. D. Valentini Rupitij.
CXX. XXI. Caspharis Reinhardi.
CXXII. Jos: Ernesti Reichelmij.
CXXIII. Caspharis Reinharti.
CXXIV. Dn. Zacharias Fingerlingij.

Cl 1926

Guerinus
Ecloga de laetissimo
1588

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0005-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0006-1

III

Ce 3747.

2

CARMEN HEROICUM

# IN CUNAS DOMINI ET SALVATORIS IESU CHRISTI, DEI ET MARIÆ Virginis Filii.

In Illustri Illustriss: Principum Anhaltinorum Gymnasio

INDULTU SUPERIORUM In solemni & frequenti Panegyri recitatum

à

JOACHIMO RESIO
Jesniz : Anhalt:

IV. Non: Jan:

ANNO

CIϽ, IϽC. XXVI.

SERVESTÆ
Excudebat Zacharias Dörfferus.

AD

# MAGNIFICOS AMPLISSIMOS, CLARISsimos, & Consultissimos.

VIROS

DN. M. MARCUM FRIDERICUM VVENDELINUM Illustris Gymnasii Anhaltini, quod est Servestæ, Rectorem & Theologo Physices Professorem.

DN. M. PETRUM à JENA, Professorem ejusdem extraordinarium, & Scholæ ibidem Rectorem.

DN. GODEFRIDUM KETVVIGIUM Illustriss: Princip: Anh: in Aulâ Dessavianâ &c. à Secretis.

PRÆCEPTORES ET PROMOTORES omni reverentia & pietatis studio colendos:

Ἤδη ἐπὶ τρίτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
Ἄνδρες ἄγαν κομόωντες ἐπιστήμῃ τε νόῳ τε,
Ἐξότε δὴ Μούσῃσιν ὀλυμπιάδεσσιν ὁποιδὸς,
Ἐν μὲν Σερβεστῇ θαλερῇ στατὸν ἴχνος ἔχεσκον,
Αἰνῶς ὑμετέρῃ τερφθεὶς πανθελγέϊ φωνῇ.
Ἀλλ᾽ ὅτε κεῖθι ἔγωγ᾽ ἄτερ οὐκ ὀφέλοιο γενοίμην
Καὶ σθένος οὐδὲν ἐμοὶ ξεινήϊα πολλὰ πορίζειν,
Λεπτὸν ἔπος τόδε τῆς χάριτος τεκμήριον ἔστω.
Ὑμέες, αἰτίζω, δέξασθε δὲ πρόφρονι θυμῷ,
Ἐνδυκέως καὶ ἐμὰς μετόπισθε κομίζετε Μούσας.

*V. Magnif: Amplitud: & Clarit: Obedient: Off:*

*Jachimus Resius.*

EK A-

ΕΚΑΤΟΝΔΥΩΚΑΙΟΓΔΟΗΚΟΝΤΑΣΤΙΧΟΣ.

Παμμεδέοντα θεὸν πάντων δωτῆρα ἐάων,
Εὐδοκίμων καὶ Ἀεργήων πολύαινος ἄωτος,
Ἔμμεναι ἀτρεκέως, πεπνυμένα χείλεα λύσας,
Παῦλος ἔειπεν, ἐὼν ἐκλεκτὸν, σκεῦος Ἰησοῦ.
Δυστάζεις δέ; Θεοῦ ἐπὶ κλίσματα ὄψιν ἕλιξον.
Παγγενέτειραν ἐπὶ χθόνα ὅσσα πνέει τε καὶ ἕρπει,
Καὶ τῶν ὅσσα χερνοτερβέουσιν ἐν ὕδατι λευκῷ.
Οἰωνοὺς δὲ τὸ πρῶτον, εὔπτερα τέκνα γενέθλης,
Ὄψῃ, ἀγαλλόμενα πτερύγων πολυανθεῖ χροιῇ.
Εἶτα θεωρήσεις νεπόδων χύσιν ἤλιθα πολλὴν,
Οἳ κατὰ καλὰ ῥέεθρα θαλάσσης ἔνθα καὶ ἔνθα
Νήχονται. Ἄμυδις παμπολλά τε πώεα μήλων
Καλῶν, καὶ μεγάλων, καὶ ἰοδνεφὲς εἶρος ἐχόντων.
Ταῦτα δὴ οὐρανόεντος ἀπ' ἔπλετο πάντα Τοκῆος,
Ἡμέες ἀλλ' ἀγαθῶν ἐπιλήσμονες ἐσμὲν ἁπάντων,
Οὐδὲ τίς ἐστι χάρις μετόπισθ' εὐεργεσιάων.
Μείζονα τῶν δὲ πέλει, πολυμόρφου ὁππότε κόσμου
Εὐκίον' ἐξ ἀρχῆς τετέλεστο θεμέθλια τέχνῃ,
Μακρὸν ὅτ' ἠέλιόν τ' ἐν μακρῷ στῆσεν ὀλύμπῳ,
Ὃς φαίνει θνητοῖσιν ἐπὶ χθονὶ σῖτον ἔδουσιν,
Ἵπποις ἐμβεβαὼς, σμερδνὸν δ' ἐπιδέρκεται ὄσσοις
Χρυσοῦ ἐκ λοφίου, λαμπραὶ δ' ἀκτῖνες ἀπ' αὐτοῦ
Αὐτομάτως στίλβουσι, παρὰ κρόταφον δὲ παρειαὶ
Λαμπραὶ ἀπὸ κρατὸς καλὸν κατέχουσι πρόσωπον,
Τηλαυγὲς, χαρίεν δὲ περὶ χροῒ λάμπεται ἔσθος
Λεπτουργὲς πνοιῇ ἀνέμων, ὑπὸ δ' ὠκέες ἵπποι.
Ταῦτα δὲ ὕψιστος μόγις ἐξετέλεσσε Κρονίων,
Ἠνίδε ἱμερόεν τὸ φόως ἀπέλαμπε σελήνης,
Ἄστρα τε παμφανόωνθ', οἷς οὐρανὸς ἐστεφάνωται,
Πληϊάδες θ', ὑάδες τε, τὸ καὶ σθένος ὠρίωνος,
Ἄρκτος θ', ἣ καὶ ἐπώνυμον οὔνομά ἐστιν ἁμάξης,
Ἥτις ἀεὶ στρέφεται, καὶ τ' ὠρίωνα δοκεύει,

Ὅη δ' ὠκεανοῖο πεφυγμένη ἐστὶ λοέτρων.
Τοῦτο δ' ὑπερβαίνει πολλὸν τάδε δώρατα πάντων
Ὅτι εὐφραδνέων ὁ Θεὸς χαρισμήτορα φωτῶν,
Μουνογενῆ ἑὸν υἷα πόρεν τετραζυγι κόσμῳ,
Ὄφρα κεν ἀμπλακίης οὓς ἔλλαβε μοῖρα κραταίη,
Αὐτῷ ἔνι ζωὴν τὴν πᾶσι μέλουσαν ἔχοιμεν,
Ἀσκελέως οἰκοῦντες ἐν εὐδένδρῳ Παραδείσῳ.
Τηλυγέτην δὲ υἱὸν, ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Αὐτοφυὴς γενετὴρ τοιαῦτα δὲ ἔργα τελέσαι,
Ἀκροτάτων ὄτρυνεν ἀπ' οὐλύμποιο καρήνων;
Τοῦτο διηνεκέως ἀναβάλλομαι ἐξαγορεύειν
Καδδιώαμιν, σφέτεροι τολμάτω δ' ἦτορ ἀκούειν.

Ἀρχιγένεθλος Ἀδὰμ δυστήνου γεύσατο μήλου
Ἀφραδέως, τόπερ οἱ καλλικρήδεμνος ἄκοιτις
Δῶκεν, ὕβρης δολερῶς σφαλθεῖσα παρ' αἰολονώτου.
Μαλθακὰ ἥτις ἔφη, κακὰ δὲ φρεσὶ βυσσοδόμευε·
Καὶ γὰρ ἐπειδὴ ἐφιέμενος τά δε εἶπεν ἐκείνοις
Ὑψιμέδων. δένδρου ἀπέχεσθε ἀπ' εἰνοσιφύλλου,
Εὐχλόου ἐν μέσσῳ ἥτις ῥιζώσατο κήπου,
Αἴσθησιν παρέχουσα βροτοῖς ἐσθλοῦ τε κακοῦ τε.
Εἰ δ' ὑμᾶς φαγέμεν κραδίη καὶ θυμὸς ἀνώξει,
Οὔποτε κεν θανάτου ὑπαλύξετε κῆρα μέλαιναν.
Πολλὰ δὲ δένδρεα μακρὰ τέτυκται τηλεθάοντα,
Ὄγχναι, καὶ συκαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
Ἀγλαὸν ἐκ τούτων ἀδεῶς περικνίζετε καρπόν.
Ἡ δ' ἀντιχομένη ὄφις αἰόλος αἴτιον ηὔδα·
Οὐχ' ὑμᾶς αἰνὴ θανάτου ἐπελεύσεται ὥρη,
Οἶδε γὰρ εὖ ὁ Θεὸς κατὰ τὴν φρένα καὶ κατὰ θυμὸν,
Ὑμέας, ἐκ τούτου ὁπόταν δενδρειο φάγοιτε,
Αἶψα ὁμοιοῦσθαι αὐτῷ σοφίην τε, νόον τε.
Ὡς φάτο, καὶ γονέων μήκιστα πεπείθετο θυμὸς,

Ἀνθρώ-

Ἀμφοτέρω δ᾽ ἄρ᾽ ἀφ᾽ ὑψικόμου δένδρειο φαγόντε
Ἀνθρώπων συνάπαντι γένει μέγα πῆμα κίλυνδον.
Καὶ γὰρ ἐπεὶ ὅς πάντ᾽ ἐφορᾷ καὶ πάντ᾽ ἐπακούει,
Ὑψιμέδων ἐνόησε, μάλιστα κοτέσατο θυμῷ,
Ὄσσε δὲ οἱ παράπαν πυρὶ λαμπετόωντι ἐΐκτην,
Φρασσάμενος δ᾽ αὐτοῖς θάνατον καὶ κῆρα μέλαιναν,
Ἔρρετε δυστήνως, τοίην ἐφθέγξατο φωνήν,
Τῆλε μέγ᾽ ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,
Ἧχι σιδήρειαί τε πύλαι καὶ χάλκεον οὐδας,
Τόσσον ἔνερθ᾽ ἀΐδου, ὅσον οὐρανός ἐστιν ἀπ᾽ αἴης.
Ὣς φάτο. Τῶν δ᾽ αὐτῶν λύτο γούνατα καὶ φίλον ἦτορ,
Αὐτοὺς δ᾽ ἀμφασίη ἐπέων λάβεν, ἠδὲ τὼ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερή τε σφ᾽ ἔσχετο φωνή,
Οὐδέ τις ἀμπλακίης βαρυπήμονος ἔπλετο ἀλκή,
Εἰ μή γ᾽ αὐτοφύτοιο πατρὸς λόγος ἐκ φάεος φῶς,
Αὐτούς τ᾽, ἐσσομένους τ᾽ ὀλοφύρατο, ἠδ᾽ ἐσάωσε.
Πληγῇσιν γὰρ ἑαυτὸν ἀεικελίῃσι δαμάσσας,
Μητρὸς εὐσεβέος Μαρίης ὑποδύσατο κόλπον,
Ὄφρα πόδας θ᾽ ἡμῖν ἐναλίγκιος, ὄφρα τε χεῖρας,
Ὀφθαλμῶν τε βολάς, κεφαλήν τ᾽, ἐφύπερθε τε χαίτας,
Παμμεδέοντος ἑοῖο πατρὸς χόλον ἐξακέσαιτο,
Ἠδ᾽ αὐτὸν θέλγων φίλον ἐξ ἐχθροῦ τελέσειε,
Θνητοῖσιν γὰρ ἅπασιν ἐπιζαφελῶς μενέαινε.
Τρέψατο γοῦν πρὸς ἑὸν γενετῆρ᾽ οἰκτίρμονι θυμῷ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἵλαθι, ὦ γενετήρ, καὶ ἐμῶν ἐπικέκλυθι μύθων,
Εἵς τε προβλέμψαι εὐρύχθονα κόσμον ἔασον,
Ὅππως αἰδρεμέοιο γένους ἀπὸ αἴσυμα τίσω.
Ὅττι ἕνα θνήσκειν πάντων ὑπὲρ ἀμπλακιάων,
Βέλτερον αὐτῷ ἐμοίγε δοάσσατο, μὴ χάριν αὐτῶν
Ἀνθρώπων ὅλον ἔθνος ὀλεσθήσειεν ὀλέθρῳ,
Θνήσκοντος γὰρ ἐμοῦ κόσμος πᾶς ὄλβιος ἔσται.

Ὣς ἄρα φώνησεν. γενετὴρ δέ μιν αὖτίον ηὔδα·
Ταῦτά γε δὴ οὕτω τελέσω, Τέκος, ὡς σὺ κελεύεις,
Καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ τι θυμὸς
Ἐν στήθεσιν ἐμοίγε σιδήρεος ἀλλ' ἐλεήμων.
Καί περ ἕκητι ἐμῶν λελάθοιντο ἐφετμοσυνάων,
Μῆλόν τε βδελυρῶς παλαμῆς ὀρέγοιντο κακῇσιν,
Ὅττι ἀπηλεγέως, μὴ βροχθίζωσιν, ἔειπον.
Ἐνθάδε πᾶν γένος ἀνθρώπων κεκοτηότι θυμῷ
Ἤθελον ἐξολοθρεῦσαι ἀνέξοδον εἰς Ἀχέροντα,
Τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται, ἀμφὶ δὲ τὸν νὺξ
Τριστοιχεὶ κέχυται, ἀλλ' ἀμφὶ τράχηλον ὕπερθε
Γῆς ῥίζαι πεφύασι, καὶ εὐκρηκάλοιο θαλάσσης,
Ἦχι Θεοὶ Τιτῆνες ὑπὸ ζόφον ἠερόεντι
Κεκρύφαται, ἰότητι διὸς νεφεληγερέταο,
Ἐν τόπῳ εὐρώεντι πελώρης ἔσχατα γαίης.
Αὐτὰρ ἐπειδὴ ὁμοίο δι' ἀνδρὸς ἐπὶ χθόνα πᾶσαν
Ἦλθεν ἀλιτροσύνη, καὶ ἑνὸς χάριν ἀνδρὸς ἔχοιεν
Εἰρήνην χαρίεσσαν, ἄφαρ δ' ὑπένερθεν ἐς αἶαν
Βάσκ' ἴθι, καὶ σκέδασον θνητῶν ἀπὸ κήδεα θυμοῦ.
Παρθένος αὐτὰρ ἔην Χαρίτων ἄπο κάλλος ἔχουσα
Καλή, καὶ μεγάλη, καὶ ἀγλαὰ ἔργ' εἰδυῖα,
Οὔποτε καὶ μήπω φωτὶ βροτόεντι μιγεῖσα,
Τὴν Λόγος Αὐτοπάτωρ πασῶν ἐκλέξατο κούρην,
Ἧς κευθμῶνα δύῃ γαστρός περ ἀεξιτόκοιο,
Εὐγνύμενος ζαθέην βροτοειδέϊ σύζυγα μορφήν.
Ἀλλ' ὅτεν ὠδῖνος στονόεις χρόνος ἔκλυθεν ἦλθε,
μητέρος ἀγνοτάτης ἐνθάδα κόλπον ἐάσας,
Ἄφρονι χρισμήτωρ προφόωσδ' ἐπελήλυθε κόσμῳ.
Ἐν δ' ἔπεσ' ὠκεανῷ γλυκερὸν φάος ἠελίοιο,
Ἕλκον νύκτα μέλαιναν ἐπὶ χθόνα καρποδότειραν,
Θνητοὺς θ' ὕπνος ἔμαρπτε λύων μελεδήματα θυμοῦ,
Ὡς κακόεργον ὄφιν, τῷ ἐπώνυμόν ἐστιν ἀληθὲς

Δυσφη-

Δύσφημος Σατανᾶς, καὶ ὑβρίστης ἀγκυλομήτης,
Ἐν δεσμοῖς τοῖς νωλεμέως κρατεροῖσι πιέζῃ,
Ὅς τε μάλιστα βροτῶν ἐπὶ τῆς χθονὸς δινηθέντων,
Οἴχεται ἔνθα καὶ ἔνθα, μεμαὼς ξύμπαντας ὀλέσαι.
Ὄφρα νέφος τε μέλαν κρυεροῦ θανάτοιο σκεδάσῃ,
Τῷ γε σιδηρείη κραδίη καὶ χάλκεον ἦτορ
Ἐντὸς ἐνὶ στήθεσσιν ἔφυ, δ᾽ ὃν πρῶτα λάβῃσιν
Ἀνθρώπων, ἐχθρός τε βροτοῖς κατὰ γαῖαν ἅπασι,
Καὶ μὲν ἐπιχθονίοις ζωὴν αὐτ᾽ αὐτοῦ ὀπάσῃ,
Ζωὴν ἀμβροσίην, τὴν δ᾽ οὐ χρόνος οἶδεν ὀλέσαι.
Ἡνίδε οὐρανόθεν πλεονήκτου ἀπῆλθε Τοκῆος,
Ἕσατό τ᾽ ἀμφὶ καλῷ χ᾽ ἁπαλῷ χροῒ σπάργανα λεπτά,
Ἀνέρος ὡς παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ,
Ὧ τινι οὐ χλαῖναι καὶ ῥήγεα πόλλ᾽ ἐνὶ οἴκῳ.
Ὅσα τε υἱ διδῷ μακρὴν ἐπὶ γαῖαν ἰόντι.
Ὃς πρόπαροιθε δέδυσο διὸς μέγα χαλκοβατὲς δῶ,
Ὃς περὶ καὶ βέβλητο πάρος μεγακήτεα πόντον,
Ὧ τινι καὶ στήριγμα ποδῶν περὶ γαῖα πετάσθη,
Τὸν δ᾽ ἀήρ, ἄστρων τε χορὸς περιδέδρομε πάντῃ,
Ἡνίδε οὐτιδανὸς στεινῇ ἐνὶ κέκλιτο φάτνῃ.
Πάσχεται ἀργαλέον ῥῖγος, καὶ ἶν᾽ ἀνέμοιο,
Ὑψόθεν αὐτομάτως ἡμᾶς ποτὶ ἴχνια κάμπτων,
Ὥρῃ χειμερίῃ, τὸν δ᾽ οὐ χρέος, αὐτὰρ ἔοικεν
Ἔνθα μένειν, ὅπου ἀθανάτων ἕδος ἀσφαλὲς αἰὲν
Ἔπλετο, οὔτ᾽ ἀνέμοισι τινάσσεται, οὐδέ ποτ᾽ ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπιπίλναται, ἠδὲ μάλ᾽ αἴθρη
Πέπταται ἀννέφελος, φανερὴ δ᾽ ἐπιδέδρομεν αἴγλη,
Τῷ ἔνι τέρπονται θεοὶ ὄλβιοι ἤματα πάντα.
Δυστήνως μήκιστα δομᾶται ἀεικεῖ πότμῳ
Σπείρας ὑπ᾽ ἀφραδέος, καὶ νηλεὲς ἦτορ ἐχούσης,
Ὄφρα βιωθέντες μακροῦ ἐνὶ δώματ᾽ Ὀλύμπου,
Εὐφροσύνῃσιν ἰαινώμεθα διαμπερὲς αἰέν.

Ὡς ἄρα παχνήεντος ἐπειδὴ χείματος ὥρη
Αὖτις ἐπῆλθε, δονοῦσα παλιντροφάλιγγας ἀέλλας,
Βένθεα δ᾽ ἀστήρικτα, καὶ ὑγρὰ κέλευθα θαλάσσης.
Οὐτιδανῆς γενεῆς, καὶ ἀπύστων συνθεσιάων
Μνησάμενοι, εὐσεβέως εὐχώμεθα παιδὶ νεογνῷ,
Ἀμφί τε, κυσσόμενοι, φίλον αὐχένα πήχεε λευκὼ
Χευώμεθα, καθὼς Νυμφὴ χαρίεσσα πέφυκε
Νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ.
Ἄσπετα Νηπιάχῳ ἔπερ οἱ καὶ δῶρα διδοῦσι.
Εὖ χρυσῷ λίβανον καὶ σμύρναν ποικιλόκαυλον,
Δώρων δ᾽ ὅσσαπερ ἐν κραδίῃ κειμήλια κεῖται,
Δώσομεν ὅττι καλὸν καὶ τιμιέστερον ἄλλων,
Δώσομεν εὐχωλὰς καθαροῦ ἀπὸ θυμοῦ ἰούσας,
Ὄφρα κακήν τε καὶ ἀργαλέην ἀπὸ νοῦσον ἀλάλκῃ.
Ἥτις ἄρ ἡμετέρην κατὰ τὴν πόλιν ᾤχετο πάντῃ,
Καὶ νόον ἐν στήθεσσιν ἀπήμονα ἀνδράσι θήσῃ
Δυσμενέεσσιν, ἀνελπίστως τοὶ πατρίδος αἶαν
Εἰσβάλλοντο, ἅπαντι περὶ χερὶ νώροπα χαλκὸν
Ἑσσάμενοι, ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.
Οὕτως ἀσφαλέως κρυεροῦ μέγα πεῖραρ ὀλέθρου
Ἐκφυγέοντες, ὃ ἡμετέρῳ νεύσταζε καρήνῳ,
Τὸν χριστὸν μετόπισθεν ἐπ᾽ ἤμασι μηκεδανοῖσι
Κλείσομεν ἀθάνατον, περικαλλέα ὅσσαν ἱέντες.

**FINIS.**

Cl 1926

ULB Halle 3
001 556 118

Sb.

Stk. 6 = Handschrift

Paul Friedrich
Buchbindermeister
Merseburg a. S.

VD17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0015-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0016-6

III Ce 3777.
2

N HEROICUM

NAS DO-
ALVATORIS IE-
I, DEI ET MARIÆ
rginis Filii.

lustriss: Principum
norum Gymnasio

SUPERIORUM
t frequenti Panegyri
xecitatum

à

IMO RESIO
iz : Anhalt:
v. Non: Jan:

ANNO

, Ioc. XXVI.

RVESTÆ
Zacharias Dörfferus.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-583436-p0017-2